## ΚΕΦΑΛΑΙΟΝ ϛ'.

# Περὶ τῆς Ἰβηρίας, ἤτοι Ἱσπανίας. (Α)

§. 222. Ἡ Ἰβηρία (1) ἡ ϗ ἡ Ἱσπανία (2) διὰ τὴν τῆς Γῆς ξηρότητα ϗ τὴν περὶ τὰ γεωργικὰ ἀμέλειαν, οὐκ ἔστι πολύφορος, ἀλλ' οὐδὲ δὴ πολυάνθρωπός ἐστι· ϗ ὁ μὲν ἐν αὐτῇ ἀὴρ θερμὸς ϗ καθαρὸς, ϗ ὑγιεινὸς, οἱ δὲ καρποὶ, εἴτουν αἱ ὀπῶραι, ϗ τὰ σπέρματα ἄριστα εἰσιν εἰς βρῶσιν, ὁμοίως ϗ τὰ θηράσιμα, ϗ νομαδικὰ ζῶα, πολλὴν δὲ ἔχει τὴν τελειότητα ϗ τὰ τούτων ἔρια.

(1) Οὐκ ἀπὸ τῶν Ἰβήρων, ἔθνους τῆς Ἀσίας, ἀλλ' ἀπὸ τοῦ ποταμοῦ Ἴβηρος τὴν κλῆσιν ἔχον.

(2) Ἀπὸ Ἱσπανοῦ τοῦ βασιλέως κατὰ τὸν Ἰουστῖνον, ἢ ἀπὸ τῆς Ἱσπάλεως πόλεως, κατὰ τὸν Κλουβέριον.

§. 223. Ἄχρι μὲν τοῦ 411 ἀπὸ Χριστοῦ ἔτους ὑπὸ τὴν τῶν Ῥωμαίων Αὐτοκρατόρων ἀρχὴν ἡ Ἱσπανία διατέλει· τότε δὲ ὑπὸ τῶν Βανδάλων, ἔθνους Γερμανικοῦ, κυριευθεῖσα, ὑπὸ τὴν αὐτῶν διέμεινε δεσποτείαν μέχρι τοῦ 720 ἔτους, ὅτε ἐλθόντες οἱ ἐκ τῆς Ἀφρικῆς ὁρμώμενοι Μέλανες, ἄχρι τοῦ 1492 αὐτῆς κατεκράτησαν.

§. 224. Μοναρχικὴ τὰ νῦν ἐστὶ, κατὰ διαδοχὴν προϊοῦσα, ἡ τῆς Ἱσπανίας διοίκησις. διαδέχεται δὲ ϗ τὰ θήλεα ἐλλείψει τῶν ἀῤῥένων τῆς βασιλείας τὸ στέμμα. Ἐπεκτείνεται δὲ τὸ τῶν Ἱσπανῶν κράτος ἐπὶ τὰ τέσσαρα τοῦ κόσμου μέρη. ϗ εἰκότως ἂν εἴποι ὁ τούτων βασιλεὺς, τὸν Ἥλιον μηδέποτε ἐν τῇ αὐτοῦ δύνειν ἐπικρατείᾳ.

§. 225. Θρησκεία μὲν τῶν Ἱσπανῶν ἡ Κατόλικα· ἦν δέ ποτε παρ' αὐτοῖς ϗ ἡ Ἰνκουϊζιτζιόνε ἀπηνὴς ϗ ἀπ-

Ε.Φ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἄνθρωπος, πολυάριθμα πλήθη ἀνθρώπων τῶν ὑπὸ τὸ Ἱσπανικὸν κράτος, ἀδίκως ϗ παραλόγως φονοκτονήσασα, νῦν δὲ ἐπὶ τὸ μετριώτερον μεταβέβληται.

§. 226. Βάσιν τοῦ τῶν Ἱσπανῶν χαρακτῆρος διϊσχυρίζονται τινὲς εἶναι τὸ ἀγέρωχον ϗ γαῦρον· τοιαύτη δὲ ϗ ἡ αὐτῶν σοβαρότης, ὥστε ϗ εἰς παροιμίαν προβῆναι, Σοβαρότης Ἱσπανική· εἰσὶ δ᾽ οὖν ὅμως αὐτοὶ ἐγκρατεῖς, προσεκτικοὶ, ϗ ἐν τοῖς δεινοῖς καρτερικοί.

§. 227. Ὁ ἀριθμὸς τῶν τὰς κατὰ τὴν Εὐρώπην ἐπαρχίας οἰκούντων Ἱσπανῶν ἄνεισι εἰς 7,500,000. ϗ ὁ μὲν τακτικὸς αὐτῶν στρατὸς ἐστὶ 70,000· αἱ δὲ πολεμικαὶ νῆες 80. (α)

§. 228. Οἱ μὲν Ἀρχαῖοι τὴν Ἱσπανίαν εἰς δύω ἐμέρισαν μέρη κατὰ τὴν ὑπὸ τοῦ Ἴβηρος ποταμοῦ γινομένην διαίρεσιν, Ἱσπανίας καλούμενα· οἱ δὲ κρατήσαντες αὐτῆς Ῥωμαῖοι εἰς τρία· εἰς τὴν Λουσιτανίαν, εἰς τὴν Βαιτικὴν, ϗ εἰς τὴν Ταῤῥακωνησίαν, τὴν ϗ Τουρδητανίαν

---

(α) *Τοῦτο τὸ Βασίλειον τὴν σήμερον ἔχει Ἐγκατοίκους 10,202,237 κατὰ τὴν ὄπισθεν σημείωσιν. εἰς τὸν καιρὸν τῶν Μαυρουσίων ϗ τῶν Γότθων εἶχε σχεδὸν τὸ διπλοῦν περισσοτέρους. ἡ μοναχικὴ ζωὴ, τὰ πολλὰ Μοναστήρια, αἱ Ἀποικίαι τῆς Ἰνδίας, ὁ Διωγμὸς τῶν Ἰουδαίων, ϗ τῶν Μουαμεθάνων, ϗ αἱ ἀχρεῖαι Οἰκονομίαι εἶναι κυρίως ἡ αἰτία. Οἱ Ἱσπανοὶ εἶναι σχεδὸν ὅλοι ξηροὶ, ἕνεκεν τῶν θερμῶν ϗ εὐωδῶν Ποτῶν ὁποῦ μεταχειρίζονται. Εἰς καιρὸν Εἰρήνης ἡ Ἱσπανία ἔχει Στράτευμα τακτικὸν 70,000 ϗ εἰς καιρὸν Πολέμου ἠμπορεῖ εὐκόλως νὰ ἔχῃ 110,000· ϗ Νῆας πολεμικὰς ἐν τῇ Εὐρώπῃ ϗ Ἀμερικῇ ὑπὲρ τὰς 70.*

κληθεῖσαν, (1) ἐν ᾗ ϗ οἱ Ἐλύσιοι τῶν Ἀρχαίων λειμῶνες.

(1) Ὅρα τὸ περὶ πόλεων τȣ̃ ςεφάνȣ λεξικόν.

§. 229. Διαιρεῖται δὲ νῦν ἡ Ἱσπανία εἰς ἐπαρχίας, (ὧν ταῖς πλείςαις Βασιλείας ἐπέθηκαν ὄνομα, οἱ ἐκ τῆς Ἀφρικῆς Κρατήσαντες αὐτῶν Μέλανες,) τέσσαρας πρὸς τοῖς δέκα· τȣ́των ἡ μὲν ἐςιν.

1. Ἡ νέα Καςέλλα la nouvelle Castile πρὸς τῷ τῆς Ἱσπανίας κέντρῳ κειμένη ϗ βασιλείαν ἔχȣσα ὄνομα.
2. Ἡ παλαιὰ Καςέλλα la Castille vieille Βασίλειον.
3. Ἡ Ἐςραμαδȣ́ρα.
4. Ἡ Λεγιὼν, Leon, ἥτις λέγεται Βασιλεία.
5. Ἡ Γαλαικία, ἢ Γαλιτζία, la Gallice ὁμοίως.
6. Τὸ Πριγκιπάτον τῆς Ἀςȣρίας.
7. Ἡ ἡγεμονία τῆς Βισκαΰας τῆς τὸ πάλαι Κανταβρίας καλȣμένης, la Biscaye.
8. Ἡ Ναυάρα, Βασιλεία λεγομένη.
9. Ἡ Ἀραγωνία, ὁμοίως.
10. Τὸ Πριγκιπάτον τῆς Καταλωνίας.
11. Ἡ Οὐαλεντία, Valence, λεγομένη Βασιλεία.
12. Ἡ Μȣρκία, la Murcie.
13. Ἡ Γρενάδα, la Grenade, ὁμοίως.
14. Καὶ ἡ Ἀνδαλȣσία ὁμοίως.

§. 230. Ἐν ταῖς ἐπαρχίαις ταύταις πόλεις ἐπιφανέςεραί εἰσιν αἱ ἑξῆς.

1. Τὸ Μάδριτον, Madrid, μητρόπολις τῆς νέας Καςέλλης, ϗ πάσης τῆς Ἱσπανίας.
2. Οἱ Βȣ́ργοι, ἢ Βȣ́ργος, Burgos, πρωτεύȣσα τῆς παλαιᾶς Καςέλλης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΥ ΝΕΟΕΛΛΗΝΙΚΟΥ ΔΙΑΦΩΤΙΣΜΟΥ ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΥΠΕΥΘΥΝΟΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

3. Ἡ Μέριδα τῆς Ἐςραμαδέρης.
4. Ἡ Λεγιὼν, τῆς Λεγιῶνος ἐπαρχίας.
5. Ἡ Κομποςέλλα, ἢ καὶ Σαντιάγο, St. Jaques, καλȣμένη τῆς Γαλαικίας.
6. Τὸ Ὀβιέδο, Ὄβιτον τὸ πάλαι, τῆς Ἀςȣρίας.
7. Τὸ Βίλβαο, Φλαυϊόβριγα τὸ πάλαι, τῆς Βισκαΐας.
8. Ἡ Παμπελώνα, Pampelune, ἡ τὸ πάλαι Πομπηϊȣπολις, τῆς Ναυάῤῥας.
9. Ἡ Σαῤῥαγῶσα, ἡ καὶ Σȣλδαβα καὶ Καισάρεια Αὐγȣ̃ςα ποτὲ προσαγορευομένη, τῆς Ἀραγωνίας.
10. Ἡ Βαρτζελώνα, Βαρκινὼν τὸ πάλαι, πρωτεύȣσα τῆς Καταλωνίας, ἐν ᾗ καὶ ἡ παλαιὰ Καρχηδὼν, κατά τινας μὲν ὅπȣ τὸ νῦν Μεκȣινέγκα φρȣ́ριον, κατά τινας δὲ ὅπȣ ἡ Κανταβεῖα Κώμη.
11. Ἡ Οὐαλεντία, πρωτεύȣσα τῆς Οὐαλεντίας ἐπαρχίας.
12. Ἡ Μȣρκία, τῆς Μȣρκίας.
13. Ἡ Γρενάδα, τῆς Γρενάδας.
14. Καὶ ἡ Σεβίλλια, Seville, τὸ πάλαι Ἴσπαλις καλȣμένη, πρωτεύȣσα τῆς Ἀνδαλȣσίας.

§. 231. Οἱ ἐν τῇ Ἱσπανίᾳ μεγάλοι ποταμοὶ ἕξ.

1. Ὁ Ἴβηρ, ἢ Ἔβρο, L'ebre, ὁ ἐκ τῶν τῆς παλαιᾶς Καςέλλης ὁρίων πηγάζων, καὶ διὰ τῆς Ἀραγωνίας, καὶ Καταλωνίας διερχόμενος, καὶ εἰς τὴν Μεσόγειον εἰσρέων θάλασσαν.
2. Ὁ Γȣαδαλαβὶρ, Guadalquivir, ὁ πάλαι Βαίτης, καὶ Ταρτησσὸς, καὶ Ταρτήσιος καλȣ́μενος ὁ ἐκ τῶν Μεσημβρινῶν ὀρέων τῆς νέας Καςέλλης προϊὼν, καὶ τὴν Ἀνδαλȣσίαν εἰς δύω σχεδὸν ἴσα μερίζων μέρη.
3. Ὁ Γȣαδιάνας, ἢ καὶ Ἄνας ὁ ἐκ λίμνης ὁ μωνȣμȣ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΣΥΓΧΡΟΝΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ Κ.ΘΡ. ΠΕΤΣΙΟΣ
Ε. ΜΠΟΥΣ τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

αὐτῷ ἐκβλύζων, ἐγγὺς τῆς Καλατράυης μικρᾶς πόλεως τῶν ἐν Καςέλλη.

4. Ὁ Τάγος, ὁ ἐκ τῶν ὀρέων πηγάζων τῶν τὴν Ἀραγωνίαν ἀπὸ τῆς νέας Καςέλλης χωριζόντων, συνεισρέουσι δ᾽ αὐτῷ καὶ χρυσοῦ ψηφίδες.

5. Ὁ Δουρείας, ὁ ἐναρχόμενος μὲν ἀπὸ τῆς παλαιᾶς Καςέλλης, διαπερῶν δὲ τὴν Λουσιτανίαν, καὶ εἰς τὸν Ὠκεανὸν εἰσδυόμενος.

6. Καὶ ὁ Μίνιος ὁ ἐν τῷ Ὠκεανῷ ὁμοίως εἰσρέων.

§. 232. Τὰ δὲ ἐν τῇ Ἱσπανίᾳ ἐπιφανέςερα ὄρη εἰσὶ τάδε.

1. Τὰ Πυρηναῖα τὰ τὴν Ἱσπανίαν τῆς Γαλλίας ἀφορίζοντα.

2. Τὰ Σαντιλλένα, τὰ καθ᾽ ὅλον τῆς Ἱσπανίας τὸ Ἀρκτῷον μῆκος ἐκτεινόμενα.

3. Τὰ Σιέῤῥα Μοράνα, τὰ ἐπὶ τῶν ὁρίων τῆς Ἀνδαλουσίας.

4. Τὰ Σιέῤῥα Οὐρβίων, τὰ περίπου τὸ μέσον τῆς Ἱσπανίας.

5. Τὰ Σιέῤῥα Ναυάδα, τὰ καθ᾽ ὅλον ἐπεκτεινόμενα τὸ μῆκος τῶν ὁρίων τῆς Βασιλείας τῆς Γρενάδας.

§. 233. Τὰ δὲ Ἀκρωτήρια, 8.

1. Τὸ, Πίνας, τὸ ἐν τῇ Ἀςουρίᾳ.

2. Τὸ, Ὀρτέγας, τὸ ἐν τῇ Γαλαικίᾳ.

3. Τὸ, Φινιςέρος, τὸ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ.

4. Τὸ, Τρασαλγὰρ, τὸ ἐν τῇ Ἀνδαλουσίᾳ.

5. Τὸ, Γάτες, τὸ ἐν τῇ Γρενάδῃ.

6. Τὸ, Πάλος, τὸ ἐν τῇ Μουρκίᾳ.

7. Τὸ, Μαρτὶν, τὸ ἐν τῇ Οὐαλεντίᾳ.

8. Καὶ τὸ, Κρέουσε, τὸ ἐν τῇ Καταλωνίᾳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΥΡΩΠΑΪΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

§. 234. Οἱ δὲ Κόλποι, 6.

1. Ὁ τῆς Κορογνίας, ὁ ἐν τῇ Γαλαικίᾳ.
2. Ὁ τȣ̃ Βίγος, ὁ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ.
3. Ὁ τȣ̃ Κάδικος, ὁ ἐν τῇ Ἀνδαλȣσίᾳ.
4. Ὁ τȣ̃ Γιβραλτὰρ, ὁ ἐν τῇ Γρενάδῃ.
5. Ὁ τῆς Καρθαγένης, ὁ ἐν τῇ Μȣρκίᾳ.
6. Καὶ ὁ τȣ̃ Ἀλικάντȣ, ὁ ἐν τῇ Οὐαλεντίᾳ, ὁ τὸ πάλαι Ἁλώνης καλȣ́μενος.

§. 235. Αἱ διαφανεῖς ὑπὸ τȣ̀ς Ἱσπανȣ̀ς νῆσοι, αἱ ἐν τῇ μεσογείῳ θαλάσσῃ, 3.

1. Ἡ Μαϊώρκα, ἡ καὶ μείζων Βαλλιάρις, ἢ Βαλλερὶς καλȣμένη, ἥτις καὶ καρποφορωτάτη ἐςίν.
2. Ἡ Μινόρκα, ἢ ἐλάσσων Βαλλερὶς, ἡ καὶ Πόρτο Μαγὼν, ἡ τὰ νῦν ὑπὸ τὸ τῶν Ἄγγλον κράτος.
3. Ἡ Ὕβικα, ἡ καὶ Εὔβȣσος, ἢ Ἔβυσος. ἐν ᾗ ȣ̓δὲ ὄφεις, ȣ̓δὲ ἰοβόλον θηρίον, καίτοι τῆς Φορμεντέρας, ἢ ὀφιȣ́σσης νήσȣ, τῆς ἐπὶ τὰ μεσημβρινὰ αὐτῆς μέρη κειμένης, ἀκατοικήτȣ ȣ̓́σης, διὰ τὸ ἐν αὐτῇ πλῆθος τῶν ὄφεων.

§. 236. Ἐπίσημοι δὲ ἔτι, ὡς ὑπὸ τῶν ἀρχαίων μνημονευόμεναι, καὶ αἱ ἐν τῷ δυτικῷ Ὠκεανῷ ὑπὸ τὴν τῶν Ἱσπανῶν ἐξȣσίαν νῆσοι, αἱ Βαϋῶνες λεγόμεναι, αἵτινες εἰσὶν αἱ μυθευόμεναι τῶν θεῶν νῆσοι, αἱ ἀπέναντι τῆς Βαϋῶνος, πόλεως παραθαλασσίȣ τῆς Γασκονίας ἐπαρχίας τῶν Γάλλων, κείμεναι. ἔτι δὲ καὶ ἡ Γαδίτζ, ἥτις ἐςὶ τὰ Γάδειρα, τῇ Ἀνδαλȣσίᾳ παρακειμένη. (α)

(α) Ὁ *Βασιλεὺς* τῆς *Ἱσπανίας* ἔχει τὸ ἐπίθετον νὰ ὀνομάζεται **Καθολικὸς**. *Εὑρίσκονται* ἐν τῇ *Ἱσπανίᾳ* ὀκτὼ Ἀρ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

§. 237. Πέρατα δὲ τῆς Ἱσπανίας, κατὰ μὲν Ἀνατολὰς ἡ Γαλλία, καὶ ἡ μεσόγειος θάλασσα· κατὰ δὲ Μεσημβρίαν μόριον τῆς μεσογείου θαλάσσης, ὁ πορθμὸς ὁ Ἡράκλειος, καὶ μέρος τῆς θαλάσσης τῆς Ἱσπανίας· κατὰ δὲ Δυσμὰς, ἡ Λουσιτανία, καὶ ἡ αὐτὴ θάλασσα· κατὰ δὲ Ἄρκτον, ἡ τῆς Βισκαΐας θάλασσα.

§. 238. Τῶν δὲ ἐπ᾽ εὐθείας αὐτῆς ἐκτάσεων, ἡ μὲν κατὰ μῆκος, ἡ μεγίστη, ἡ ἀπὸ Ἀνατολῶν μέχρι Δυσμῶν, ἡ μετὰ τὸ Κρεῦσε Ἀκρωτήριον, ἕως τοῦ Φινεστέρου Ἀκρωτηρίου, ἴση μιλίοις περίπου 135· ἡ δὲ κατὰ πλάτος, ἡ ἀπὸ Μεσημβρίας ἕως Ἄρκτου, ἡ ἀπὸ τοῦ Τραφαλγὰρ Ἀκρωτηρίου ἄχρι τοῦ Ὀρτέγα, μικρόν τι μείζων τῶν 120 μιλίων.

§. 239. Τὸ μὲν τῆς Ἱσπανίας Μῆκος ἄρχεται ἀπὸ τῶν 8½ μοιρῶν, καὶ λήγει εἰς τὰς 21· τὸ δὲ Πλάτος, ἀπὸ τῶν 36, εἰς τὰς 44.

---

*χιεπισκοπαὶ*, καὶ 46 *Ἐπισκοπαὶ*, ὁ *Ἀρχιεπίσκοπος* τῆς *Τολέδας* ἔχει τὸν τίτλον **Πρόεδρος** τῆς *Ἱσπανίας*· εἶναι καὶ *Ἀρχικαγγελλάριος* τῆς *Καστιλλίας*. Ἀριθμοῦσι 54,000 *Μοναχοὺς*, 34,000 *Μοναχὰς*, 20,000 *Ἱερεῖς*.

## Σημείωσις.

(Α) ΕΚΤΑΣΙΣ. ΘΕΣΙΣ.

κατὰ Μῆκος 240 μίλ. { μεταξὺ } 8½ ϗ 21 τοῦ μήκους.
κατὰ Πλάτος 177 { τοῦ } 36 ϗ 44 τοῦ πλάτους.
περιέχουσα 16,745 μίλ. τετραγωνικὰ, ϗ κατ᾽ ἀναλογίαν κατοικοῦσιν εἰς κάθε τετραγ. μίλ. 605 ἄνθρωποι.

## ΔΙΑΙΡΕΣΙΣ.

| ΕΠΑΡΧΙΑΙ. | Τετραγ. μίλια | Μῆκος | Πλάτος | Πρωτεύουσαι Πόλεις |
|---|---|---|---|---|
| Γαλιτζία | 1333 | 55 | 40 | Κομποςέλλα. |
| Ἀςουρία | 1511 | 42 | 19 | Ὀβιέδο. |
| Βισκάϊα | 527 | 47 | 19 | Βίλβαο. |
| Ναυάῤῥα | 333 | 31 | 23 | Παμπελοῦνα. |
| Ἀῤῥαγὼν | 1535 | 64 | 35 | Σαῤῥαγόσσα. |
| Καταλόνι | 1000 | 58 | 37 | Βαρσελόνα. |
| Βαλέντζια | 755 | 60 | 25 | Βαλεντία. |
| Μουρχία | 400 | 50 | 27 | Μουρκία. |
| Γρενάδα | 900 | 67 | 20 | Γρενάδα. |
| Ἀνδαλουσία | 1833 | 91 | 45 | Σεβίλλα. |
| Ἐςραμαδοῦρα | 1400 | 60 | 41 | Βαδαϊόζ. |
| Νέα Καςελία | 3093 | 75 | 60 | Μαδρίδ. |
| Παλαιὰ Καςελία | 1600 | 65 | 47 | Βοῦργος. |
| Λέων | 1244 | 56 | 40 | Λέων. |
| Νῆσοι ἐν τῇ Μεσογείῳ: Μαϊόρκα | 155 | 20 | 13 | Μαϊόρκα. |
| Νῆσοι ἐν τῇ Μεσογείῳ: Ὕβικα | 69 | 12 | 8 | Ὕβικα. |
| Νῆσοι ἐν τῇ Μεσογείῳ: Μινόρκα | 57 | 14 | 7 | Τζιταδέλα. |

Τὸ ὅλον 16745

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Ἀριθμὸς τῶν Ἐγκατοίκων τῆς Ἱσπανίας.

| | | Ἐγκάτοικοι. |
|---|---|---|
| Γαλιτζία Βασίλειον | | 1,345,000 |
| Ἀςυρία Ἡγεμονία | | 347,700 |
| Βισκάϊα | | 322,000 |
| Ναυάῤῥα Βασίλ. | | 290,000 |
| Ἀῤῥαγὼν Βασίλ. | | 623,300 |
| Καταλόνι Ἡγεμον. | | 814,400 |
| Βαλείτζα Βασίλ. | | 783,084 |
| Μυρσία Βασίλ. | | 337,680 |
| Γρενάδα, Βασίλ. | | 686,600 |
| Ἀνδαλυσία Βασίλ. | | 1,107,923 |
| Ἐςραμαδῦρα Ἐπαρχία | | 416,900 |
| Νέα Καςελία Βασίλ. | | 1,100,480 |
| Παλαιὰ Καςελία Βασίλ. | | 913,570 |
| Λέων Βασίλ. | | 935,830 |
| Νῆσοι: Μαϊόρκα | 135,900 | |
| Νῆσοι: Μινόρκα | 28,170 | |
| Νῆσοι: Ὕβικα ϗ αἱ ἄλλαι Νῆσοι | 13,700 | 177,770 |
| Τὸ ὅλον | | 10,202,237 |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ... ΣΥΓΧΡΟΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ρ.Σ.Α της Φ.Π.Ι ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

# Περὶ τῆς Κελτογαλατίας, εἴτουν Γαλλίας, τῆς καὶ Φραγκίας ἢ Φράντζας. (Β)

§. 240. Τῶν μεγάλων ϗ κραταιῶν τῆς Εὐρώπης Βασιλειῶν μία ἐστὶν ἡ Γαλλία, γῆν ἔχουσα καρποφόρον τε ϗ πολύφορον· ἔστι δὲ ἡ αὐτὴ ϗ τρυφηλὴ, ἅτε δὴ πεδιάσι ϗ νάπαις ϗ ποταμοῖς πεποικιλμένη ϗ δρυμοῖς, ἁπάντων δὲ, πλὴν τῶν μετάλλων εὔπορος, ϗ ἐμπορικὴ δὲ, ϗ ὑγειινοῦ, ϗ καθαροῦ πλουτοῦσα ἀέρος.

§. 241. Ἡ μὲν τῶν Γάλλων Διοίκησις μοναρχική ἐστι, ϗ κατὰ διαδοχὴν μόνον ἀρσενικὴν προβαίνουσα· τὸ δὲ θρήσκευμα αὐτῶν Κατόλικον μετά τινος ὑποδιαστολῆς....

§. 242. Θυμηδεῖς οἱ Γάλλοι, ϗ κοινωνικοὶ ϗ Εὐπροσήγοροι, (τὸ θυμηδὲς τοῦτο αὐτοὶ μὲν Vivacité spirituelle· εἴτουν ἐμψυχίαν πνεύματος, καλοῦσιν, οἱ δὲ γείτονες αὐτῶν ἦθος οὐδαμινὸν ϗ εὐτέλειαν.) τῶν Μουσῶν θεραπευταὶ ϗ τοῦ Ἄρεως, ὀξύνοες ϗ πρὸς πάντα ἐπιτήδειοι, ἀλλὰ ϗ φιλήδονοι, ϗ ὑπόκουφοι. Τὸν δὲ ἀριθμὸν αὐτῶν ἴσον εἶναι φασι 17,000,000. τούτων στρατιῶται εὔτακτοι 200,000, δύναμις δὲ ναυτικὴ 120 πολεμικαὶ νῆες.

§. 243. Ὑπὸ Ἰουλίου τοῦ Καίσαρος ἡ Γαλλία τῇ Ῥωμαϊκῇ ὑποταγεῖσα ἀρχῇ, ὑπὸ τὴν τῶν Ῥωμαίων Αὐτοκρατόρων δεσποτείαν διέμεινεν ἕως τῶν ἡμερῶν Ὠνορίου τοῦ Αὐτοκράτορος, ὅπερ ἐστὶν ἕως τοῦ 400, ἀπὸ Χριστοῦ ἔτους. τότε δὲ πρῶτον μέρους αὐτῆς, εἴτουν τῆς Ναρβενησίας, οἱ Γότθοι κατεκράτησαν, ἣν Λαγγουεδὸκ ἐκάλεσαν.

§. 244. Εἰς δύω τὸ πάλαι ἐμερίζετο ἡ Γαλλία, εἰς τὴν Κισαλπίνην, τȣτέςι τὴν ἐντὸς τῶν Ἀλπέων ὀρῶν, ϗ εἰς τὴν Τρανσαλπίνην, τȣτέςι τὴν ἐκτὸς τῶν Ἀλπέων, τὴν ϗ κυρίως Γαλλίαν. ὑποδιῃρεῖτο δὲ ὑπὸ τȣ̃ Πάδȣ, εἴτȣν τȣ̃ Πὸ ποταμȣ̃ εἰς δύω ἡ Κισαλπῖνα, εἰς τὴν Κισπαδάνην ϗ Τρανσπανδάνην· ἑκατέρα δὲ τȣ́των μέρος τῆς Ἰταλίας νῦν ἐςὶ, Λομβαρδία καλȣ́μενον. πολλαὶ δὲ μετὰ ταῦτα γεγόνασι τῆς Γαλλίας διαιρέσεις, ὧν ἡ νεωτέρα, ἡ ἑξῆς. (α)

§. 245. Διαιρεῖται ἡ Γαλλία εἰς ἐπαρχίας 16.

1. Εἰς τὴν Νῆσον τῆς Φραγκίας, l'Isle de France.
2. Τὴν Αὐρηλιανὴν, l'Orleanois.
3. Εἰς τὴν Λȣγδονικὴν, le Lyonnois.
4. Τὴν Πικαρδίαν, la Picardie.
5. Τὴν Νορμανδίαν, la Normandie.
6. Τὴν Βρετανίαν, la Bretagne, τὴν τὸ πάλαι Ἀρμορικὴν καλȣμένην.
7. Τὴν Γȣϊέννε, la Guienne, τὴν περιέχȣσαν ϗ τὴν Γασκονίαν, la Gascogne.
8. Τὸ Λανγȣεδὸκ, Lanquedoc, τὸ ϗ Ὀκκιτανία ϗ Γοτθικὴ Γαλλία καλȣ́μενον.
9. Τὴν Προβϊγκίαν, la Provence.
10. Τὸ Δελφινάτον, le Dauphine.
11. Τὴν Βȣργȣντίαν, la Bourgogne.
12. Τὴν Καμπανίαν, la Champagne.
13. Τὴν Λοῤῥαίνην, la Lorraine, τὴν ϗ Λοθαρίγγιαν, τὴν ὑπὸ τὸν ὁμώνυμον αὐτῇ Λȣ́καν ποτὲ οὖσαν.

---

(α) Ὅρα τὴν σημείωσιν εἰς τὸ τέλος τȣ̃ παρόντος Κεφαλαίȣ.

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

14. Τὸ Φραγκοκομιτάτον, le franche-Comté.
15. Τὴν Ἀλσατίαν, l'Alsace, ἐπαρχίαν τῆς Γερμανίας, ἧς πρωτεύουσα τὸ Στρασβοῦργ.
16. Τὰς Γαλλικὰς κατωχώρας, le Pays-bas francois, τὰς καὶ Φλανδρίας Γαλλικὰς, Flandre francoise καλουμένας, ὧν πρωτεύουσα ἡ Λίλλα.

§. 246. Αἱ δὲ ἐν τῇ Γαλλίᾳ πρωτεύουσαι πόλεις τῶνδε τῶν ἐπαρχιῶν εἰσὶν 16.

1. Τὸ Παρίσιον, Paris, τὸ καὶ Λουτετία, καὶ Λουκοτετία καλούμενον, πόλις μεγίστη, πολυάνθρωπος, πλουσία, ἐμπορικὴ, μουσοτρόφος, (Κάρολος ὁ Μέγας (magnus) πρῶτος ἐν αὐτῇ Ἀκαδημίαν συνέστησεν ἔτει ἀπὸ Χριστοῦ 790., καὶ τῷ βασιλικῷ κεκοσμημένη θρόνῳ· πρωτεύουσα οὐ μόνον τῆς νήσου Φραγκίας, ἀλλὰ καὶ ἁπάσης τῆς Γαλλίας.
2. Ἡ Αὐρηλία, Orleans, ἡ ἀπὸ Αὐρηλίου μὲν τοῦ Αὐτοκράτορος ἔτει ἀπὸ Χριστοῦ 278. οἰκοδομηθεῖσα, ὑπὸ δὲ τοῦ Βασιλέως τῆς Γαλλίας Φιλίππου ἔτει 1314. Ἀκαδημίᾳ διακοσμηθεῖσα· καὶ πρωτεύουσα τῆς ὁμωνύμου αὐτῇ ἐπαρχίας.
3. Τὸ Λούγδουνον, Lyon, πόλις τῆς Λουγδάνων ἐπαρχίας πρωτεύουσα, ἐν ᾗ πρῶτος ἐπίσκοπος ὁ ἐν ἁγίοις Εἰρηναῖος, ὁ τοῦ Πολυκάρπου ἀκροατής.
4. Ἡ Ἀμονία, Amiens, τῆς Πικαρδίας πρωτεύουσα.
5. Ἡ Ῥωτόμαγος, Roven, παραθαλάσσιος πόλις, καὶ τῆς Νορμανδίας πρώτη.
6. Ἡ Κονδάτη Ῥυδόνων, Rennes, πρωτεύουσα τῆς Βρετανίας.
7. Ἡ Βουρδίγαλα, Bourdeaux, πόλις ἀρχαία, ἐμπορικὴ, παραθαλάσσιος, καὶ τῆς Γουϊέννε πρώτη.

8. Ἡ Βαϊῶνα, Bayonne, παραθαλάσσιος, καὶ τῆς Γασκονίας πρώτη.

9. Ἡ Τόλωσα, Toulose, πόλις μεγάλη, ἐμπόριον ἔχȣσα ἐπίσημον, ϗ Ἀκαδημίαν ὑπὸ τȣ̃ Πάπα Γρηγορίȣ τȣ̃ θ΄. ἔτει 1233 συγκροτηθεῖσαν, ϗ τῆς ἀνωτέρας Λαγγȣεδὸκ (διαιρεῖται γὰρ ἡ Λαγγȣεδὸκ εἰς ἀνωτέραν, ϗ κατωτέραν) πρωτεύȣσα.

10. Ἡ Ναρβὼν, Narbonne, πόλις παλαιὰ, ϗ πρώτη τῶν ἄλλων Ῥωμαϊκῶν Κωλόνια, Πατρικία Ἰȣλία ὑπὸ τῶν Ῥωμάιων κληθεῖσα, ϗ τῆς κατωτέρας Λαγγȣεδὸκ τὰ νῦν πρωτεύȣσα.

11. Αἴξ· Aex, ἡ ϗ Ἄκȣαι Σέξτιαι καλȣμένη, πόλις παλαιὰ, ὑπὸ Γαΐȣ Σεξτίωνος τὴν κλῆσιν λαχȣ̃σα, ϗ τῆς Προβϊγκίας πρωτεύȣσα.

12. Ἡ Γρατιανȣ́πολις, Grenoble, τȣ̃ Δελφινάτου πρώτη.

13. Ἡ Διϊὼν, Dijon, τῆς Βȣργȣντίας.

14. Οἱ Ῥέμοι, Rheims, οἱ τὸ πάλαι Δȣροκόρτορον, (ἐν οἷς ϗ Ἀκαδημία ὑπὸ Καρόλȣ τȣ̃ Καρδιναλίου ἔτει 1548 ἀνεγερθεῖσα) τῆς Καμπανίας.

15. Τὸ Ναυκεῖον, Nanci, τῆς Λοράινης.

16. Ἡ Οὐησόντιος, ἢ Βεσαγκὼν, Besancon, τοῦ Φραγκοκομιτάτȣ.

§. 247. Πρὸς ταῖς εἰρημέναις παραθαλασσίοις πόλεσι, Ῥωτομάγῳ, Βȣρδιγάλῃ, ϗ Βαϊώνῃ, ἔχει ἡ Γαλλία ϗ τὰς ἑξῆς λιμενηρὰς 11.

1. Τὸ Κάλητον, Calais, ϗ

2. Τὴν Βονωνίαν, Boulogne, ἐν τῇ Πικαρδίᾳ.

3. Τὴν Ἄβρε δὲ Γράτζε, la Havre de Grace, ἐν τῇ Νορμανδίᾳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

4. Τὸ Μακλόβιον, Saint malo.
5. Τὸν Βριουάτην, ἢ Βρὲς, Brest.
6. Τὸν Ὀριάντην, l'Orient, ϗ
7. Τὴν Νάντες, Nantes, ἐν τῇ Βρετανίᾳ.
8. Τὴν Ῥοχέλλην, Rochelle, τὴν ϗ Ῥουπέλλην, ἐν τῇ χώρᾳ τῆς Ἀύνεως, dans le pays d'Aunis.
9. Τὴν Μασσιλείαν, Marseille, πόλιν ἀρχαιοτάτην, ὑπὸ τῶν Φωκαέων Ἰώνων κτισθεῖσαν, Βασιλεύοντος ἐν Ῥώμῃ τοῦ Ταρκουϊνίου· (ἤτοι τοῦ παλαιοῦ, εἴτουν περὶ τὸ 616. ἔτος πρὸ Χριστοῦ, ἤτοι τοῦ καλουμένου Σουπέρβου, τουτέστι περὶ τὸ 534 πρὸ Χριστοῦ ἔτος.) ἐν ᾗ ϗ ἐμπόριον ἐπισημόν ἐστι ϗ λιμὴν εὐρυχωρότατος, ϗ πολλὰ τῆς ἀρχαιότητος σώζεται δείγματα.
10. Τὴν Τουλονίαν, Toulon, τὴν ϗ Τέλω, Μάρτιους καλουμένην.
11. Τὴν Ἀντίβιν, Antibes, τὴν ϗ Ἀντίπολιν, ἐν τῇ Προυϊγγίᾳ.

§. 248. Οἱ ἐν Γαλλίᾳ μεγάλοι Ποταμοὶ 4.

1. Ὁ Σαΐνε, la Seine, ὁ ϗ Σηκουάνας, ὁ τὸ Παρίσιον Ποτίζων, ϗ διὰ τῆς Νορμανδίας διαπερῶν.
2. Ὁ Λοὰρ, la Loire, ὁ ϗ Λίγορ· ὁ διὰ τῆς Βρετανίας εἰς τὸν Ὠκεανὸν εἰσρέων.
3. Ὁ Γαρόννης, la Garonne, ὁ ϗ Γαρούμνης, ὁ ἐκ τῶν Πυρηναίων πηγάζων ὀρῶν, τῶν ἐν τῷ τῆς Ἀραγωνίας πέρατι, ϗ
4. Ὁ Ῥοδανὸς, le Rhône, ὁ τὸ Δελφινάτον ἀφορίζων τῆς Ὀκκιτανίας ϗ τοῦ Λουγδούνου.

§. 249. Τὰ δὲ ἐν αὐτῇ ἐπιφανέστερα ὄρη ὁμοίως 4.

ΙΩΑΝΝΙΝΑ 2006

1. Τὰ Πυρηναῖα, les Pyrennées, τὰ τὴν Γαλλίαν τῆς Ἱσπανίας ἀφορίζοντα.

2. Τὰ Ἄλπη, les Alpes, τὰ μεταξὺ Γαλλίας, καὶ Ἰταλίας.

3. Τὰ Κέβεννα, les Cevennes, ἐν τῇ Λαγγυεδὸκ, ϗ

4. Τὸ Ἰουρασσὸς, le mont jura. τὸ τὴν Γαλλίαν τῆς Ἐλουητίας ἀφορίζων.

§. 250. Τὰ δὲ Ἀκρωτήρια 5.

1. Τὸ Ἀντίσερ, Antiser, ϗ

2. Τὸ Ὄγουε, Hogue, ἐν τοῖς πρὸς Βοῤῥὰν τῆς Γαλλίας μέρεσιν, εἴτουν ἐν τῇ Νορμανδίᾳ.

3. Τὸ Φερὲτ, Feret, ἐν τοῖς πρὸς Δυσμὰς, εἴτουν ἐν τῇ Βρετανίᾳ.

4. Τὸ Σικίε, Sicie, ϗ

5. Τὸ Ταϊλλὰτ, Taillat, ἐν τοῖς πρὸς Μεσημβρίαν, τουτέστιν ἐν τῇ Προουΐγκίᾳ.

§. 251. Αἱ δὲ ἐπισημότεραι τῆς Γαλλίας νῆσοι ὁμοίως 5.

1. Ἡ Γερνέσσει, Gernésey, ἡ ϗ Σαρνία.

2. Ἡ Ἱέρσσει, Jersey, ἡ ϗ Καισάρεια, αἱ ἐν τῷ Βριτανικῷ Ὠκεανῷ κείμεναι, τῷ ϗ Μάνσε καλουμένῳ, ϗ ὑπὸ τὸ κράτος οὖσαι τῶν Ἄγγλων, ἐν αἷς ϗ ἐπίσημος γίνεται ἐμπορία.

3. Ἡ Ὄλερον, Oleron.

7. Καὶ ἡ τοῦ Βασιλέως, Re, αἱ ἐπὶ τὰ δυτικὰ τῆς Γαλλίας μέρη, ϗ

5. Αἱ Ἱέραι, les Hieres, αἱ ϗ στοιχάδες νῆσοι, αἱ ἐπὶ τὰ τῆς προουΐγκίας μέρη.

§. 252. Περατοῦται δὲ ἡ Γαλλία κατὰ μὲν Ἀνατολὰς ὑπὸ τῆς Γερμανίας, ϗ Ἐλουητίας, ϗ Ἰταλίας·

κατὰ δὲ Μεσημβρίαν, ὑπὸ τȣ̃ Λȣγδȣνικȣ̃ κόλπȣ, τῆς Μεσογείȣ θαλάσσης, ϗ τῆς Ἱσπανῶν βασιλείας. κατὰ δὲ Δυσμὰς ὑπὸ τȣ̃ Γασκωνίας κόλπȣ, μέρȣς ὄντος τȣ̃ Ἀτλαντικȣ̃ πελάγȣς. κατὰ δὲ Ἄρκτον, ὑπὸ τοῦ Βρεταυικȣ̃ Ὠκεανȣ̃, τȣ̃ ϗ Μάνσε, ϗ ὑπὸ τῶν κάτω χωρῶν.

§. 253. Τῶν δὲ ἐκτάσεων αὐτῆς τῶν ἐπ' εὐθείας, ἡ μὲν ἀπὸ Ἀνατολῶν πρὸς Δυσμὰς ἴση μιλίοις 128· ἡ δὲ ἀπὸ Μεσημβρίας πρὸς Ἄρκτον, μικρόν τι μείζων τῶν 128. ἴση ἄρα μικρȣ̃ δεῖν ἡ κατὰ μῆκος ἔκτασις τῇ κατὰ πλάτος.

§. 254. Τὸ μὲν τῆς Γαλλίας Μῆκος ἄρχεται μετὰ τὴν 13, μοῖραν, ϗ εἰς τὴν 25, λήγει· τὸ δὲ πλάτος, μετὰ τὴν 44, εἰς τὴν 51.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Σημείωσις

(Β) *Νεωτερικὴ κατάστασις τῆς Γαλλίας, ἢ Φράντζας.*

| *Ἔκτασις.* | | *Θέσις.* |
|---|---|---|
| κατὰ μῆκος 240 μίλ. | μεταξὺ | 42° 20′′ ϰ 51° 56 τῦ πλάτους |
| κατὰ πλάτος 220 | | 13° ϰ 25 τῦ μήκους. |

*Περιέχουσα* 31,000 *τετραγωνικὰ μίλ. ϰ κατ' ἀναλογίαν κατοικοῦσιν εἰς ἓν τετραγων. μίλ.* 1,000 *ἄνθρωποι· εἰς τὴν προτέραν της κατάστασιν εἶχεν ἐγκατοίκους* 25,000,000, *τὰ νῦν δὲ* 31,000,000. *Περατοῦται τὰ νῦν ἡ Γαλλία κατὰ Ἄρκτον ὑπὸ τῆς Μάνσε ἤτοι τοῦ Βρετανικοῦ Πορθμοῦ, ὑπὸ τῆς Βαταυικῆς Δημοκρατίας, κατὰ Ἀνατολὰς ὑπὸ τοῦ Ῥήνου ϰ τῶν Ἄλπεων, κατὰ Νότον ὑπὸ τῆς Μεσογείου θαλάσσης, ϰ τῶν Πυρηναίων ὀρῶν, ϰ κατὰ Δυσμὰς ὑπὸ τοῦ Ἀτλαντικοῦ Ὠκεανοῦ.*

*Ἡ Γαλλία διοικεῖτο ὑπὸ Βασιλέων,* (§. 241.) *ἕως εἰς τὸν Καιρὸν τοῦ δυστυχοῦς Βασιλέως Λουδοβίκου* (Louis) *τοῦ ις'. ἀλλ' εἰς τοὺς* 1791 *ἄρχισαν μεγάλαι ταραχαὶ, ϰ ἐπαναστάσεις μεταξὺ τοῦ λαοῦ, τῶν εὐγενῶν, ϰ τῆς διοικήσεως, ματαίως ἔπασχε νὰ τὰς ἡσυχάσῃ ὁ δυστυχὴς Βασιλεὺς, διὰ τῆς συνδρομῆς τῶν ἄλλων Βασιλέων τῆς Εὐρώπης, τὸ Ἔθνος ἠγριώθη κατὰ τοῦ ἀθώου Βασιλέως, ἅρπαξε τὰ ἅρματα εἰς τὰς χεῖρας· κινοῦσι τὸν πόλεμον ἐναντίον πάντων ὑπεριχύουσι κατὰ τοῦ βασιλέως των, ὥστε ϰ αὐτὸν ἢ τὴν σύζυγόν του, ϰ τὸν διάδοχον ἐθανάτωσαν. τοιοῦτον λοιπὸν ἐστάθη τὸ τέλος μιᾶς Μοναρχίας, ἥτις διήρκησε σχεδὸν* 1373 *χρόνους· τέλος τῇ* $\frac{21}{10}$ *Σεπτεμβ. τοῦ* 1792 *καταλύσαντες τὴν προτέραν αὐτῶν διοίκησαν, τὴν Δημοκρατίαν ἀνέστησαν, διοικουμένην ὑπὸ πέντε ἐφόρων κατ' ἔτος ὑπὸ τοῦ Ἔθνους ἐκκλελεγμένων ἄχρι τοῦ* 1799 *ἔτους ϰ* 8' *τῆς Δημοκρατίας αὐτῶν. Μετὰ δὲ ταῦτα τρεῖς Ὑπάτους (Κωνσούλους)* (α) *ἀντὶ τῶν πέντε ἐθέσπισαν ἐκκλέγεσθαι.*

---

(α) *Κωνσιλίους, τοῦτο μεθερμηνευόμενον εἰς τὴν Ἑλλάδα γλῶτταν τοὔνομα Συμβούλους ἢ προβούλους δύναται δηλοῦν. Κωνσιλία γὰρ οἱ Ῥωμαῖοι τὰς συμβουλὰς καλοῦσιν. Ὕπατοι, δὲ ὑφ' Ἑλλήνων ἀνὰ χρόνον ὠνομάσθησαν ἐπὶ τοῦ μεγέθους τῆς ἐξουσίας, ὅτι πάντων τε ἄρχουσι, ϰ τὴν ἀνωτάτω χώραν ἔχουσι, τὸ γὰρ ὑπερέχον ϰ ἄκρον, Ὕπατον ἐκάλουν οἱ παλαιοί. Διονύσ.* Ἀλικαρν. βιβ. *Δ.* σελ. 199.

## ΝΕΩΤΕΡΙΚΗ ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΓΑΛΛΙΑΣ.

### Παλαιοὶ τόποι τῆς Γαλλίας.

### Πρὸς τὸ ΒΟΡΕΙΟΝ.

| Ἐπαρχίαι τὸ παλαιόν | Μοῖραι ἤτοι Départemens. | Πρωτεύουσαι πόλεις. |
|---|---|---|
| Γαλλικὴ Φλανδρία | τοῦ Βορρᾶ | Λιάλ. |
| Ἀρτοά | τοῦ Πὰ-δὲ-Καλαὶ | Ἄρας. |
| Πικαρδία | τῆς Σόμμης | Ἀμιέν. |
| Νορμανδία | κατωτέρω τοῦ Σὲν | Ῥοῦεν. |
| | Καλπάδος | Κάεν. |
| | τῆς Μάνσε | Σὼν-Λό. |
| | Ὄρνη | Ἀλενσόν. |
| | Εὔρε | Εὐρέ. |
| Νῆσος τῆς Φράνσας | τοῦ Σὲν | ΠΑΡΙΣΙΟΝ. |
| | τοῦ Σὲν καὶ Ὀάσε | Βερσαίλλες. |
| | τῆς Ὀάσε | Βωβαί. |
| | τοῦ Αἴνσε | Λαόν. |
| | τοῦ Σὲν καὶ Μάρνη | Μελοῦν. |
| Καμπανία | Μάρνη | Χαλόν. |
| | Ἀρδενέ | Μεζιέρε. |
| | Ὦβε | Τρόγες. |
| | Ἀνωτέρα Μάρνη | Χωμόν. |
| Λοραίνη | Μὲς | Βάρ. |
| | Μοσέλλ | Μέτζ. |
| | Μέρθε | Νανσύ. |
| | Βόσγε | Ἐπινάλ. |
| Ἀλσάσα | Μόν-Τεῤῥίβλε | Κόλμαρ. |
| | ἀνωτ. τοῦ Ῥήνου | |
| | κατωτ. τοῦ Ῥήνου | Στράσβουργ. |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δάπης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πρὸς τὸ ΜΕΣΟΝ.

| | | |
|---|---|---|
| Βρεττανία. | τῆς Νήσε ϗ Βιλαίνης | Ῥένε. |
| | τὸ μέρος τε Βορᾶ | Σαὶν - Βριέκ. |
| | Φινιςέρα | Κίμπερ. |
| | Μορβίαν | Βάνε. |
| | κατωτ. Λοάρ | Νάντε. |
| Μαίν, ϗ Πέρσ | Σάρθ | Μάν. |
| | Μαϋέν | Λαυάλ. |
| Ἀνζιόν | Μαίν, ϗ Λοάρ | Ἀγγέρ. |
| Τυραίν | Ἴνδρε, ϗ Λοάρ | Τύρ. |
| Ὀρλεαναί | Λοαρέ | Ὀρλεάν. |
| | Ἔρ, ϗ Λοάρ | Σιαρτρέ. |
| | Λοὰρ ϗ Σιέρ | Βλοά. |
| Βερρί | Ἴνδρε | Σιατωρύ. |
| | Σιέρ | Βύρζε. |
| Νιβερνοά | Νιιύρε | Νευέρ. |
| Βυργονία | Ἰὸνν | Ὠξέρ. |
| | Κότ - δ' Ὄρ | Διζιόν. |
| | Σαόν ϗ Λοάρ | Μακόν. |
| | Ἄιν | Βύργ. |
| Φρὰνσ Κοντέ. | Ἀνωτέρω τῆς Σαόν | Βεσύλ. |
| | Δύβ | Βεσανσόν. |
| | Ἰύρα | Λόν - λε - Σωνιέρ. |
| Ποατύ. | Βαντέ | Φοντενέη λὲ Πέπλ |
| | Δε - Σεύρες | Νιόρτ. |
| | Βιένν | Ποατιέρ. |
| Μάρσχ. | Κρέζ | Γυερέ. |
| | ἀνωτέρ. τῆς Βιένν | Λιμόζε. |
| Λομοζέν | Κορρέζ | Τύλ. |
| Βυρβουαί | Ἀλιέ | Μυλέν. |

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πρὸς τὸ ΝΟΤΕΙΟΝ.

| | | |
|---|---|---|
| Σαιντόγγ. | Σιαρέντ. κατωτ. | Σαίντε. |
| | Σιαράντ. | Ἀγγουλέμ. |
| Ὠβέρνη. | Πὺ δὲ Δόμ | Κλερμόντ. |
| | Καντάλ | Ὠριλάκ. |
| Λυονναί. | Ῥόν | Λυόν. |
| | Λοάρ | Μοντβρισόν. |
| Δωφινέ. | Ἰζέρε | Γρενόβλε. |
| | ἀνωτέρ. Ἄλπεις | Κάπ. |
| | Δρόμ. | Βαλάνς. |
| Γυϊέννα. | Δορδόνη | Περιγγέ. |
| | Γιρόνδε | Βορδώ. |
| | Λόρ, καὶ Καρόν | Ἀζιάν. |
| | Λόρ | Καώρ. |
| | Ἀνεϋρόν | Ῥοδέζ. |
| Γασκονία. | Γέρ | Ὤχ. |
| | Λάνδε | Μὸν δὲ Μαρσάν. |
| | ἀνωτ. τῶν Πυρηναίων | Τάρβε. |
| Βεάρν | κατωτ. τῶν Πυρην. | Πώ. |
| Κοντὲ-δὲ-Φοά | Ἀριέζ | Φοά. |
| Ρουσιλλόν | Πυρηναία ἀνατολ. | Περπινιάν. |
| Λαγγεδόκ. | ἀνωτ. τοῦ Γαρώνα | Τουλέσ. |
| | Ὤδ | Καρκασσόν. |
| | Τάρν | Ἀλβί. |
| | Ἐρώλτ | Μοντπελλιέ. |
| | Γάρδ | Νίμ. |
| | Λοζέρ | Μάνδ. |
| | Ἀρδέσχ | Πριβάς. |
| | ἀνωτ. τοῦ Λοάρ | Πουί. |
| Προβάνσα. | κατωτ. Ἄλπεις | Δίγν. |
| | Ἐκβολ. τοῦ Ῥών | Μαρσίλλια. |
| | Βάρ | Δραγγινιάν. |
| Κόρσικα. | Γόλο | Βασία. |
| | Λιαμόν | Ἀϊάκκιο. |



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Δ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Νέαι Ἐπαρχίαι Νεωςὶ ὑποταχθεῖσαι τῇ Γαλλίᾳ μετὰ τὴν Εἰρήνην τοῦ Κάμπο-Φόρμιο, ϗ τῆς Λούνεβιλλ· τῷ 1797 ϗ 1801.

### Εἰς τὴν Ἰταλίαν.

| | | |
|---|---|---|
| *Ἡ Ἐπαρχία τοῦ Ἀβινιὸν Κομιτάτου τοῦ Βαινεσί.* | *Βωκλοῦσ* . . . . | *Ἀβινιόν.* |
| Σαυόϊα. | Μοντ - Βλάνκ . . | Σιαμπερύ. |
| *Κομητ. τῆς Νίσας.* | *Ἄλπεις Μαριτίμες* | *Νίτζα.* |

### Εἰς τὸ Βέλγιον.

| | | |
|---|---|---|
| Τὸ *Ἀκτῷον μέρος τοῦ Βραβάντ.* | *Δε-Νὲθ* . . . . | Ἀυβέρ. |
| Τὸ *Νότιον αὐτοῦ.* | *Δὺλ* . . . . . . | Βρυσσέλλες. |
| Τὸ δυτικὸν τῆς Φλανδρίας . . . . . | *Λὺ* . . . . . . . | *Βρὺζε.* |
| Τὸ *Ἀνατολικ. αὐτῆς* | *Ἐσκὼ* . . . . . . | *Γράνδ.* |
| Τὸ *Αἰνὼ* . . . . . | *Ἰεμμάπ* . . . . | *Μόνς.* |
| Τὸ Κομητ. τοῦ *Ναμὺρ* | *Σάμβρε ϗ Μὲσ* . . | *Ναμύρ.* |
| Τὸ *Δουκατ. τοῦ Λουξεμβοὺργ* . . . . | *Φορὲτ* . . . . . . | *Λουξεμβοὺργ.* |
| Τοῦ *Λιμβοὺργ* . . . | *Οὖρθ* . . . . . . | *Λιέζ.* |
| Τοῦ *Γέλδρε* . . . | *Μὲσ κατωτέρω* . . | *Μάεστριχτ.* |

### Εἰς τὸ ἀριςερὸν μέρος τοῦ Ῥήνου.

| | | |
|---|---|---|
| *Μέρος τοῦ Ἐλέκτορ. τῆς Κολονίας· τοῦ Δουκάτ. τοῦ Ἰούλιέρ. τῆς Πρυσσιακῆς Γέλδρας τοῦ Κλέυας, τοῦ Μέυρ, κτ.* | *τῆς Ῥοὲρ* . . . . | *Αἲξ-λὰ-Σιαπέλλ.* |
| *Μέρος τοῦ Ἐλεκτ. τοῦ Τρέυερς, ϗ τῆς Κολονίας.* | *τοῦ Ῥήνου ϗ Μοσέλλης* | *Κοβλέντζ.* |

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

| | | |
|---|---|---|
| Μέρος τοῦ Ἐλεκτ. τοῦ Τρέυες, ϗ τοῦ Δὲ-Πόν | τῆς Σάῤῥης . . . | Τρέυες. |
| Μέρος τοῦ Ἐλεκτ. τοῦ Μάϋντζ, ϗ τοῦ Δευκάτ. τοῦ Δὲ-Πόν | τοῦ Μὸν-Τοννὲρ . . | Μάϋντζ. |
| Τὸ μέρος τῆς Γενέυας τοῦ Γὲξ, τοῦ Καρὺζ. ϗ τ. λ. | τοῦ Λεμὰν . . . . | Γενέυα. |
| | 102 Μοῖραι, ἤτοι Departemens. | |

## Κτήσεις ϗ Ἀποικίαι τῆς Γαλλίας.

| | |
|---|---|
| Εἰς τὴν Εὐρώπην . | Τὸ Πιεμόντε, διαιρεθὲν εἰς 6 Μοίρας· τοὺς Πρεσίδους ϗ τὰ ⅔ τῆς Νήσου Ἔλβας. |
| Εἰς τὴν Ἀσίαν . . | Πουτισερὶ, Καρικὰλ, Μαὲ, ϗ Χανδερναγὸρ, ἀποτελοῦντα μίαν Μοῖραν. |
| Εἰς τὴν Ἀφρικὴν . | Τὰς νήσους τῆς Φράνσας· τῆς Ῥευνιὸν, Ῥοδρίγγε, Σεϋσέλλες, ϗ μέρος τοῦ Μαδαγγασὰρ ἐκτελοῦντα δύο Μοίρας.<br>Τὸ Σενεγὰλ ϗ τὰ αὐτοῦ ἐξηρτημένα.<br>Τοὺς δύο λιμένας πλησίον τοῦ Τένις τῆς Κάλλε, ϗ τῆς Βόννας les comptoirs. |
| Εἰς τὴν Ἀμερικὴν . | Τὴν νῆσον τοῦ ἁγίου Δομενίκου, Saint Domingue, διαιρεῖται εἰς 5 μοίρας.<br>Τὴν Γουαδελόπην, τὴν Δεσιράδα, Μαρία-Ταλάνδε, λὲς Σάντες, ϗ το ἥμισυ τοῦ ἁγίου Μαρτίνου, ἀποτελοῦντα μίαν μοῖραν.<br>Τὴν Μαρτινίκαν.<br>Τὴν ἁγίαν Λουκίαν, ϗ Ταβάγο.<br>Τὴν Γαλλικὴν Γουϊάνα, ϗ τὴν Καϋένα.<br>Τὰς Νήσους τοῦ ἁγίου Πέτρου, ϗ τὰς Μικελὸνς πλησίον τῆς νέας Γῆς |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006